ἅπασάν μου ὑπόστασιν, κινητὴν καὶ αὐτοκίνητον καὶ ἀκίνητον περιουσίαν · τὰ μὲν
οἰκετικὰ πρόσωπα καθὼς προεδωρήθησαν παρ᾽ ἐμοῦ, καὶ γνωρίζεται ἑκάστης ἡ
μοῖρα, καὶ πραγματικὰ εἴδη ὡς ἐγνωρίσθησαν. Λογάριον δὲ οὔτε ἐκτησάμην ποτὲ
οὔτε κατέλιπον ἑνὸς καὶ μόνου νομίσματος, ἀλλ᾽ ὁ εὐεργετῶν Θεὸς καθὼς εἰσωδίαζεν
καὶ ἐξωδίαζεν. Ἀλλ᾽ οὐδὲ ἑτέρῳ τινὶ κατέλιπον μέχρι ἑνὸς νομίσματος, εἴτε διάφορα
ἀποκείμενα πράγματα, πλὴν τῶν ἱερῶν καὶ ἁγίων σκευῶν τὰ πρὸ πολλοῦ καὶ χρόνου
ἀφιερωθέντα παρ᾽ ἐμοῦ ἐν τῷ ἱδρυθέντι παρ᾽ ἐμοῦ πανσέπτῳ ναῷ, ἤγουν ὁ τίμιος
σταυρὸς διάχρουσος χημευτὰς ἔχων εἰκόνας β′, λαιμία ἕξ · καὶ ἕτερος σταυρὸς
λιτανικὸς ἀργυροέγκαυστος ἔχων ἐκτυπώματα · καὶ μικρὸς σταυρὸς ἀργυρός ·
σκεύη δὲ ἱερά, δισκοποτήριν, ἠθμός, ἀστερίσκος, λαβίδες δύο · δίσκος ἕτερος βαθύς,
θυμιατὸς κανίν, ἀμφότερα ἀργυρὰ χρουσοέγκαυστα · κυθροκάνδηλα β′ — ἀναβι-
βαζόμενα τὰ ἀναλωθέντα εἰς ἀμφότερα νομίσματα τριακόσια · ἕτερον δισκοποτήριν
C f. 161v ξύλινον μὲ τὴν ἀποσκευὴν αὐτῶν, ἤγουν ἐγχείρια βλατένια καὶ ποτη|ροκαλύμματα
ἕξ · ἀναφοραὶ τρεῖς · καὶ φλάμουλον περσικὸν λευκοπράσινον · καὶ σπονδηνίτζιν ·
στολὲς ἱερέων πέντε · καὶ φελόνια, τὰ μὲν δύο φελόνια μαῦρα τὰ δὲ ἕτερα τέσσαρα
λευκὰ καὶ ἕτερον πορφυρόν, ὅπερ ἔκρυψεν ὁ Νικόλας, ὁμοῦ φελόνια ἑπτὰ μὲ τὰ
ἐπιτραχήλια · καὶ ἐπιζώνιον · ὠμόφορα δύο · ἐγχείρια μεγάλα ὁλομέταξα τέσσαρα ·
τραπεζόφορον σκαραμάγγιν ὀξὺν ἔχον σταυροὺς μὲ τὰ γράμματα · ἕτερον χάσδιον
ἰαστὸν καὶ φουφούδιν καὶ ἄλευκον · ἕτερα σκεύη ἀργυρὰ χρουσὰ ἔγκαυστα · ἀργυ-
ροκάντηλον · καὶ καμπτρίτζιν γέμοντα λείψανα ἅγια · εἰκόνες διάχρυσες ἔγκαυστες
ὀκτώ, ἤγουν ἡ σταύρωσις ὁλοκάνονος δίθυρον, ὁ ἅγιος Γεώργης σκουτάριν, ὁ
ἅγιος Θεόδωρος σὺν τοῦ ἁγίου Γεωργίου, καὶ Θεοτοκίτζιν μικρόν, καὶ ὁ ἅγιος
Βασίλειος, Θεοτόκια δύο μεγάλα καὶ ἡ σταύρωσις σκουτάριν, ὁμοῦ ὀκτώ · ἕτερες
εἰκόνες σαρούτια δώδεκα · ὑλογραφίες χρουσὲς διάφορες τριάκοντα, ἔχοντας δεσπο-
τικὰς ἑορτὰς καὶ διαφόρων ἁγίων · ἕτερες μικρὲς δέκα διαφόρων ἁγίων · καὶ
διπλωταὶ ἐν τῷ ἅμα ὀκτώ · καὶ ἕτεροι δύο · μανουάλια χαλκὰ δύο καὶ σιδερὰ πέντε ·
φωτοδοτικὸν μικρὸν ἕν · παλάμες δύο ὀκτάφωτες · πολυκάντηλα μὲ τὰς ἀβίνας
ἕξ, καὶ χυτὰ τέσσαρα μὲ τὰ σμυρνίδια · θυμιατὰ δύο.

Βιβλία διάφορα · ὁ πολυτίμητος, μᾶλλον δὲ ὁ ἀτίμητός μου θησαυρός, τὸ ἱερὸν
καὶ ἅγιον Εὐαγγέλιον χρουσόγραφον διόλου, χρουσὰς ἱστορίας ἔχον τοὺς τέσσερις
εὐαγγελιστές, μετὰ ὁλογόμων χουμευτῶν ἐξεμπλίων, καστόριν ἔνδυμα, ἐξεπίπλεκτα
ἀργυροχρούσωτα κομποθελικὰ ἑπτά, ....... καὶ γάμματα ἐνίστορα, καὶ ἡ ἁγία

114 ἑκάστης : εκάστης C ἑκάστοις B ‖ 116-117 εἰσωδίαζεν καὶ ἐξωδίαζεν : ἠσοδιάζεν (καὶ) ἐξοδιάζεν C ‖ 120 εἰκόνας β′, λαιμία ἕξ : εἰκόνας βλεμία ἕξ C ‖ 123 κυθροκάνδηλα β′ add. rubro supra lin. m. 1 (ut uid.) ‖ 136 ὑλογραφίες : ἡλιογραφι(ες) C ἡλιογραφίες B ‖ 139 φωτοδοτικὸν : φοτ(ο)δωτ(ικὸν) C φωτοδ[όχιν] B ‖ 142-143 τέσσερις εὐαγγελιστές : τέσερ(ης) ευαγγελιστες C τέσσαρας εὐαγγελιστὰς B ‖ 144 post ἑπτά uix legitur in C επι...ια



ἑορτὴ τῆς γεννήσεως διάχρουσα μικρά, καὶ βοῦλαι ὀγδοήκοντα ἐννέα · ὁμοίως καὶ
ἕτερον Εὐαγγέλιον μέμβρινον · Τετραβάγγελον μικρὸν λαιφανᾶτον πτωχόν · βιβλίον
ἕτερον τῶν τεσσάρων Εὐαγγελιστῶν τὴν ἑρμηνείαν · καὶ τοῦ Δρόμου βιβλίον
μικρόν · Πραξεαπόστολος καὶ ἕτερον μέγα τὸ σχῆμα σὺν τοῦ Λειμωναρίου ·
Γενησοπαροιμίαι σὺν τῆς προφητείας · καὶ ἕτερον Ὑμνογράφος · βιβλίον μέγα ἡ
Πεντάτευχος καὶ βιβλία Βασίλεια δύο · ὁ Παντέχτης βιβλίον · καὶ Εὐχολόγιον
C f. 162 ἕν · Κοντακάρια τρία · βιβλίον μέγα ἓν τ᾽ Ἀντίπα, δύο λό|γοι καὶ τὸν βίον τοῦ ·
ἕτερον ὁ Δαμασκηνὸς ἔχον καὶ τοῦ Θεολόγου τὰ ἔπη · ἕτερον ἡ Μέλισσα · τὸ
Πανάριον · Ψαλτήριν ἓν μὲ τὴν ἑρμηνείαν καὶ ἕτερον ἕν · καὶ Στιχολόγια δύο ·
Μεταφράσεις βιβλία τέσσαρα · Συναξάρια δύο ἔχοντα καὶ διαφόρους ἀναγνώσεις ·
βιβλίον ἐκλογάδιν καὶ ἕτερον ἔχοντα λόγους διαφόρους · ἕτερον ἔχον τὰ Περσικὰ
καὶ διάφορα · ἕτερον τοῦ Ἀρχιστρατήγου · βιβλία τρία τὰ Ἠθικὰ τοῦ Χρυσοστόμου ·
Ἑξαήμερος τοῦ ἁγίου Βασιλείου · καὶ τετράδια τοῦ Χρυσοστόμου · τὰ Ἀντιρρητικὰ
τοῦ μεγάλου Βασιλείου · τετράδια οἱ ἓξ ἐξηγηταί · τὸ Συνοδικὸν τῆς Χαλκεδόνας ·
ὁ Ὁδηγός · Κανονικὸν ἕν · ἕτερον Κανονικὸν ἔχον τὴν Παλαιὰν καὶ Νέαν ἐν ἐπιτομῇ ·
ὁ Νόμος · ὁ Ἀλέξανδρος · ἡ Λευκίππη · Ὀνειροκρίτης · τῶν δώδεκα πατριαρχῶν ·
ὁ Αἴσωπος · ὁ Πισίδης · ὁ Μαλεϊνός · Ὁ Νίφων · ὁ Φίλων · Κλίμακες δύο ·
Χρονογράφοι δύο · Ἐπανηκτήρην · Ἐρωτήματα τῆς γραμματικῆς · ἕτερον Πατε-
ρικόν · Εἱρμολόγια δύο · ἡ Πεντάβιβλος · Ὀκτάηχοι πέντε · Στιχηράρια δύο
ἰδιόμελα · Τριῴδιον · Μηναῖα ἓξ ἀναλειπῶς τοῦ χρόνου · ἕτερον ἐρωτήματα ἔχον
καὶ τὰς ἐπιστολὰς τοῦ ἁγίου Ἰσιδώρου τοῦ Πηλουσιώτου. Χερνιβούξεστον καὶ
μινσιάριν.

Καὶ ταῦτα μὲν ἀφιέρωνται ἐν τῷ ἁγίῳ ναῷ, ἵνα δὲ ἔχουσιν τὴν χρῆσιν καὶ τὴν
δεσποτείαν αἱ δύο μου θυγατέραι, εἰς ψάλλειν, εἰς ἀναγινώσκειν καὶ ἐκμανθάνειν,
οὐ μὴν δὲ ἐκποιοῦνται εἰς ἕτερα πρόσωπα, πλὴν τῇ θελήσει καὶ συναινέσει τῶν
κληρικῶν χρᾶσθαι ταῦτα ὡς δεῖ καὶ ὅταν δεῖ καὶ ὅπου δεῖ. Ὡσαύτως καὶ τὴν
δεσποτείαν τῶν τεσσάρων μου κτημάτων, ἐὰν καλῶς ἐκπληρώσουν τὰ παρ᾽ ἐμοῦ
διατεταγμένα, καθὼς ἀνωτέρω εἴρηται — περὶ τούτων γὰρ πλατύτερον ἐν διαφόροις
ὑπηγόρευσα τρόποις —, ἔχειν αὐτάς, τὰ δύο μου θυγάτρια, τὴν τούτων δεσποτείαν
C f. 162v ἐπίσης, τοῦ τε Σαλὴμ τοῦ Βιζινᾶ τοῦ Ἰσαίου καὶ τοῦ Παραβονίου, ἐὰν φιλι|κῶς
καὶ εἰρηναῖα διάγουσιν, ποιεῖν δὲ ἐξ ἴσου τὰς ἑορτὰς καὶ τὰ μνημόσυνα καὶ τὴν

145 μικρά, καὶ βοῦλαι : μικρ(ὰ) (καὶ) βούλε C μικροκού<μβια> δὲ B ‖ 146 λαιφανᾶτον πτωχόν : λεφανατ(ον) πτοχον C λεφανά[τον], πτωχὸν B ‖ 148 σχῆμα B : χυμα C ‖ 149 σὺν τῆς προφητείας B : συν τοις προφιτιας *sic* C ‖ Ὑμνογράφος : η.ν....φος C η/////φος B ‖ 150 βιβλία : ....ηα C τὰ B ‖ Παντέχτης B : παντυχτης C ‖ Εὐχολόγιον : ....λόγιον C Ἑορτολόγιον B ‖ 164 ἓξ ἀναλειπῶς τοῦ χρόνου : εξ αναλυπο(ς) (pro ἀνελλειπῶς) τ(οῦ) χρ(όνου) C [cf. l. 238] ἓξ · ἀνάλοιπον τοῦ Χρυσοστόμου B ‖ 166 μινσιάριν : μινσιαρ(ην) [litt. -νσι- rescript.] C μινσάρην B.